TEZAUR LITURGIC

**12 IULIE**

# ACATISTUL SF.CUVIOS PAISIE EZNEPIDIS DE LA SUROTI

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 12 ΙΟΥΛΙΟΣ
# ΠΑΪΣΙΟΣ ΟΣΙΟΣ ΑΓΙΟΡΕΙΤΗΣ
# ΧΑΙΡΕΤΙΣΜΟΙ

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

Τὸν ἐκ Φαράσων ὡς ἀστέρα ἀνατείλαντα, καὶ ἐν τῷ Ἄθῳ ὥσπερ κρίνον ἐξανθίσαντα, τὸν πολύεδρον τῆς χάριτος μαργαρίτην, Ἐκκλησίας τὸ νεόφωτον ἀγλάϊσμα, καὶ θερμὸν ἡμῶν προστάτην μακαρίσωμεν, πόθῳ κράζοντες· Χαίροις Πάτερ Παΐσιε.

*Ὁ Οἶκος*

Ἄνθος Καππαδοκίας, ἐκφυὲν ἐπ' ἐσχάτων, πανεύοσμον Παΐσιε ὤφθης *(γ΄)*· καὶ ἐν Ἄθῳ μεταφυτευθείς, τὴν εὐωδίαν τοῦ Πνεύματος Ὅσιε, ἐξέβλυσας καὶ ἔπλησας, χάριτος θείας τοὺς βοῶντας·

Χαῖρε, τὸ μύρον τῶν μοναζόντων·
χαῖρε, τὸ κλέος τῶν Καππαδόκων
Χαῖρε, τῆς Εὐλογίας ὁ γόνος ὁ ἔνθεος·
χαῖρε, τοῦ Παρακλήτου τῆς χάριτος ἔμπλεως.
Χαῖρε, σκεῦος τὸ πολύτιμον, οὐρανίων ἀρετῶν·
χαῖρε, λύχνος διακρίσεως, καὶ ἀσκήσεως κανών.
Χαῖρε, ὅτι ὑπάρχεις τῆς Κονίτσης τὸ γέρας·
χαῖρε, ὅτι τυγχάνεις τῆς Ἑλλάδος τὸ σέλας
Χαῖρε, Ὁσίων τῶν πάλαι ἐκτύπωμα·
χαῖρε, πιστῶν τὸ θεῖον ἐντρύφημα.
Χαῖρε, Μονῆς Θεολόγου προστάτης·

χαῖρε, Ἀγγέλων φαιδρὸς παραστάτης.
Χαίροις, Πάτερ Παΐσιε.

Βλέμμα τὸ τῆς ψυχῆς σου, πρὸς Θεὸν ἀνατείνων, ἐκ βρέφους ἀληθῶς καθωράθης· βαπτισθεὶς γὰρ ὁσίαις χερσί, καὶ μυρωθείς, μοναχὸς προκεχείρισαι, ὑπὸ τοῦ θείου Πνεύματος, ἐξ ἀπαλῶν ὀνύχων κράζων·
Ἀλληλούϊα.

Γῆν λιπὼν τὴν πατρώαν, ἡλικίαν ἀώρῳ, εἰς Κέρκυραν τὸ πρῶτον μετήχθης· ἐκεῖθεν μετὰ χρόνον μικρόν, ἐν τῇ πολίχνῃ τῆς Κονίτσης ᾤκησας, ταῖς ἀρεταῖς ἀσκούμενος, ἣ καυχωμένη ἐν σοὶ κράζει·
Χαῖρε, Παΐσιε θεοφόρε·
χαῖρε, θεόπτα καὶ θεηγόρε.
Χαῖρε, τῆς τοῦ Στομίου Μονῆς κτίστωρ ἔνθεος·
χαῖρε, τῶν κοσμικῶν καὶ προσύλων ὑπέρτερος.
Χαῖρε, ἐκμαγεῖον ἄριστον, τῶν ἀρχαίων ἀσκητῶν·
χαῖρε, ἰατρεῖον ἄμισθον, τῶν ἐν θλίψεσι ψυχῶν.
Χαῖρε, ὁ τὸν Σωτῆρα αἰσθητῶς κατοπτεύσας·
χαῖρε, ὁ τοῦ βελίαρ τὴν ἰσχὺν θριαμβεύσας.
Χαῖρε, Ἁγίου Πνεύματος τέμενος·
χαῖρε, πασῶν αἱρέσεων ἔλεγχος.
Χαῖρε, τοῦ Ἄθω τερπνὴ εὐωδία·
χαῖρε, τοῦ κόσμου θερμὴ προστασία.
Χαίροις, Πάτερ Παΐσιε.

Δῆμος ὁ τῶν Ἁγίων, νῦν εὐφραίνεται ἄνω, ἐν μέσῳ σε Παΐσιε ἔχων· τῶν πιστῶν δὲ τὰ πλήθη ἐν γῇ, ἀγαλλιῶνται τιμῶντα τὴν μνήμην σου, καὶ προσκυνοῦντα Ὅσιε, τὸν τάφον σου, Θεῷ βοῶσιν·
Ἀλληλούϊα.

Ἔρωτι θείῳ Πάτερ, ἀληθῶς τετρωμένος, εἰς Ὄρος τὸ τοῦ Ἄθω ἀνῆλθες· καὶ τοῦ ἀστέκτου καὶ θείου φωτός, ταῖς ἀστραπαῖς συγκραθεὶς κατεφώτισας, ἐν ἔργοις καὶ διδάγμασι, τοὺς ἐν τῷ σκότει σοὶ βοῶντας·
Χαῖρε, τοῦ κόσμου ὁ ὑπερόπτης·
χαῖρε, ἀκτίστου φωτὸς ἐπόπτης.
Χαῖρε, τῶν πλανωμένων ὁδηγὸς ἀπλανέστατος·
χαῖρε, τῶν θλιβομένων ὁ λιμὴν ὁ ἀχείμαστος.
Χαῖρε, ῥόδον τὸ μυρίπνοον, τῆς ἀγγελικῆς ζωῆς·
χαῖρε, πλοῦτος ὁ ἀκένωτος, Θεολόγου τῆς Μονῆς.
Χαῖρε, τῶν ἀσθενούντων ἰατρὸς συμπαθείας·
χαῖρε, στύλος ἐν πόνοις, ἀληθῶς καρτερίας.
Χαῖρε, τῆς Χάριτος καταγώγιον·
χαῖρε, Πατέρων θεῖον ἐκλόγιον.
Χαῖρε, τὸ κρίνον τῆς ἐγκρατείας·
χαῖρε, ἡ δόξα τῆς Ἐκκλησίας.
Χαίροις, Πάτερ Παΐσιε.

Ζωοδόχον ὡς κρήνην, τὸν σὸν τάφον ὁρῶντες, ἰάματα ἐκβλύζοντα Πάτερ, καὶ θαύματα τελοῦντα πολλά, καὶ τῶν δαιμόνων τὰ στίφη διώκοντα, τῷ Ζωοδότῃ Ἰησοῦ τῷ σὲ δοξάσαντι βοῶμεν·

Ἀλληλούϊα.

Ἤσκησας ὑπὲρ φύσιν, ἐγκρατείας τοῖς πόνοις, νηστείαις προσευχαῖς ἀγρυπνίαις· ἐν ἐρημίαις κατασκηνῶν, συγγενόμενος Ἁγίοις καὶ σύναυλος, βρώσεως θείας μετασχὼν Παΐσιε, καὶ νῦν ἀκούεις·

Χαῖρε, Πατέρων ἡ ὡραιότης·
χαῖρε, Κυρίου ὁ στρατιώτης.
Χαῖρε, ἡ πολύχορδος λύρα τῆς χάριτος·
χαῖρε, ἡ πυρίμορφος γλῶσσα τοῦ Πνεύματος.
Χαῖρε, ἄρωμα οὐράνιον, σκεῦος θείας ἐκλογῆς·
χαῖρε, καύχημα παγκόσμιον, Ἐκκλησίας τῆς σεπτῆς.
Χαῖρε, τῆς μετανοίας ἡ Χριστόδροσος αὔρα·
χαῖρε, τῆς ἁμαρτίας ἡ πυρίστακτος λάβρα.
Χαῖρε, σαρκὸς μαράνας σκιρτήματα·
χαῖρε, ἐχθροῦ φυγὼν τὰ κεντήματα.
Χαῖρε, εὐώδης λειμὼν ἀπαθείας·
χαῖρε, ἀείῤῥους πηγὴ εὐσπλαγχνίας.
Χαίροις, Πάτερ Παΐσιε.

Θεατὴς τῶν ἀῤῥήτων, γεγονὼς μυστηρίων, χαρίσματα τοῦ Πνεύματος πλεῖστα, ἐδέξω κατὰ τῶν δαιμόνων, καὶ διοράσεως καὶ προοράσεως, καὶ ξένων μεταβάσεων, τῷ δοτῆρι Θεῷ κραυγάζων·

Ἀλληλούϊα.

Ἱλαρὸν θείας δόξης, φῶς ὁρᾶς σὺν Ἀγγέλοις, Παΐσιε χορεύων ἐν πόλῳ· καὶ Δεσπότου Χριστοῦ τῆς μορφῆς, ἀπολαύων μεθέξει τῇ κρείττονι, φώτισον καὶ ἡμῶν τὸν νοῦν, τοῦ ἀναμέλπειν σοι τοιαῦτα·

Χαῖρε, θεάμων τῶν ἀθεάτων·
χαῖρε, συνόμιλε τῶν Ἀσωμάτων.
Χαῖρε, ὁ τὴν φύσιν ἀνδρικῶς βιασάμενος·
χαῖρε, ὁ τῆς νίκης τοὺς στεφάνους δεξάμενος.
Χαῖρε, θρόνῳ τῆς Θεότητος, παῤῥησία παρεστώς·
χαῖρε, Μάρτυς ὁ ἀναίμακτος, προαιρέσει γεγονώς.
Χαῖρε, ταῖς ἐπαγρύπνοις προσευχαῖς καρτερήσας·
χαῖρε, τὴν ἀνομβρίαν δι᾽ εὐχῆς μόνης λύσας.
Χαῖρε, θεράπων Χριστοῦ ἐνθεώτατος·
χαῖρε, ἀσκῶν ἀρετὴν ἐκ νεότητος.
Χαῖρε, κλητὸς ἐκ κοιλίας ὑπάρχων·
χαῖρε, λαμπρὸς ἐν Ὁσίοις τυγχάνων.
Χαίροις, Πάτερ Παΐσιε.

Κορυφὴν ἐν Σιναίῳ, καθορῶν τὴν ἁγίαν, καὶ μόνος τῷ Θεῷ συνὼν Πάτερ, τοῦ διαβόλου τοὺς πειρασμούς, νικητικῶς θεοφόρε ὑπήνεγκας, καὶ ἄγγελος ὡς ἄσαρκος, ἐν τῇ ἐρήμῳ ἀνεβόας·

Ἀλληλούϊα.

Λείψανα τοῦ Ὁσίου, Ἀρσενίου κομίσας, σεπτῶς ἀπὸ Κερκύρας παμμάκαρ, καὶ τὸν θαυμαστὸν αὐτοῦ βίον, ἰδιοχείρως συγγράψας Παΐσιε, ὁμοίας νῦν ἔτυχες δόξης αὐτῷ· διὸ βοῶμεν·

Χαῖρε, Ἁγίων ὁ συμπολίτης·
χαῖρε, ἀκτήμων καὶ ἐρημίτης.
Χαῖρε, ὁ ἐξασκήσας νηστείαν ἀκρότατον·
χαῖρε, ὁ τῇ εὐχῇ ἀδολεσχήσας θερμότερον.
Χαῖρε, ἀετὲ τοῦ Πνεύματος, καὶ ἱέραξ ἱερέ·
χαῖρε, πελεκὰν φιλότεκνε, τοῦ Χριστοῦ συγκοινωνέ.
Χαῖρε, τοῦ Ἀρσενίου βιογράφος ὁ θεῖος·
χαῖρε, τῆς Εὐφημίας τῆς Ἁγίας ὁ φίλος.
Χαῖρε, Θεοῦ προφήτης θεόληπτος·
χαῖρε, καλὸς ποιμὴν καὶ διδάσκαλος.
Χαῖρε, πατρίδος ἡμῶν εὐεργέτης·
χαῖρε, δαιμόνων στεῤῥὸς καθαιρέτης.
Χαίροις, Πάτερ Παΐσιε.

Μάνδραν τῆς Θεοτόκου, ἐν Στομίῳ τὴν θείαν, λαμπρῶς ἀνῳκοδόμησας Πάτερ· κοπιῶν ταῖς ἰδίαις χερσί, καὶ τοῖς θηρσὶ συνδιατρίβων Ὅσιε, ὡς ὁ Ἀδὰμ τὸ πρότερον, πρὸ τῆς παρακοῆς κραυγάζων·
Ἀλληλούϊα.

Νέος Ἅγιος Πάτερ, τῆς Χριστοῦ Ἐκκλησίας, ἰσότιμος τῶν πάλαι ἐφάνης· νοῦς ὅσιος, νήφων καὶ πραΰς, καὶ ὁλοκαύτωμα θεῖον Παΐσιε, γενόμενος τοῖς τέκνοις σου, τοῖς εὐλαβῶς σοι ἐκβοῶσι·
Χαῖρε, πυρσὸς ἐλεημοσύνης·
χαῖρε, ἡ στήλη τῆς σωφροσύνης.
Χαῖρε, τῶν Ὀρθοδόξων ἀστὴρ παμφαέστατος·
χαῖρε, τῶν κακοδόξων πρηστὴρ ἐμφανέστατος.

Χαῖρε, ὅτι ἐκοπίασας ὑπὲρ φύσιν ἀληθῶς·
χαῖρε, ὅτι εὐηργέτησας τὸν πλησίον συμπαθῶς.
Χαῖρε, τῆς Θεοτόκου ὁ παννύχιος λάτρης·
χαῖρε, ἀδιαλείπτου προσευχῆς ὁ ἐργάτης.
Χαῖρε, Χριστοῦ ἀκηλίδωτον ἔσοπτρον·
χαῖρε, ἐχθροῦ τὸ ἀμφίστομον ἔμβολον.
Χαῖρε, τοῦ Γένους εὐχέτης καὶ φύλαξ·
χαῖρε, τοῦ Ἄθω πανεύοσμος στύραξ.
Χαίροις, Πάτερ Παΐσιε.

Ξυνωρὶς ἡ ἁγία, τῶν κλεινῶν Καππαδόκων, ᾀσμάτων εὐφημείσθωσαν ὕμνοις· τῶν Φαράσων γὰρ γόνοι σεπτοί, σὺν Ἀρσενίῳ ὁ θεῖος Παΐσιος, ὑπὲρ ἡμῶν πρεσβεύουσι, καὶ σὺν Ἀγγέλοις μελῳδοῦσιν·
Ἀλληλούϊα.

Ὅπου ἐπισκιάσει, ἡ σὴ χάρις καὶ σκέπη, ἐκεῖθεν ὁ διάβολος φρίττει· ὀνόματος γὰρ μόνου τοῦ σοῦ, τῇ ἐπικλήσει φυγαδεύονται πνεύματα, καὶ ἀσθενεῖς λαμβάνουσι, τὴν ἴασιν οὕτω βοῶντες·
Χαῖρε, ἰσχὺς παραλελυμένων·
χαῖρε, ἐλπὶς τῶν ἀπηλπισμένων.
Χαῖρε, τῶν ἐν τροχαίοις ταχεῖα διάσωσις·
χαῖρε, τετυφλωμένων τελεία ἀνάβλεψις.
Χαῖρε, ἡ θερμὴ ἀντίληψις τῶν πτωχῶν καὶ ὀρφανῶν·
χαῖρε, λύσις τῆς στειρώσεως, καὶ μαστίγων χαλεπῶν.
Χαῖρε, γενησομένων ὁ πλουτίσας τὴν γνῶσιν·

χαῖρε, ἐλπιζομένων ὁ μετέχων τῇ δόξῃ.
Χαῖρε, λαμπὰς ἡρώων τῆς πίστεως·
χαῖρε, φωστὴρ ἁπάσης τῆς κτίσεως.
Χαῖρε, εἰκὼν τῆς φιλοτιμίας·
χαῖρε, λειμὼν τῆς ἀθανασίας.
Χαίροις, Πάτερ Παΐσιε.

Ποῖος λόγος ἰσχύει, ἐπαξίως ὑμνῆσαι, τοὺς πόνους τῶν ἀγώνω σου Πάτερ; ἀποροῦμεν γὰρ οἱ ἐμπαθεῖς, ἐγκωμιάσαι τὴν σὴν ἁγιότητα, καὶ τὴν κρυπτήν σου ἄσκησιν, κατανοῆσαι καὶ βοῆσαι·
Ἀλληλούϊα.

Ῥήγνυσι τῶν δαιμόνων, τὰ παμβέβηλα πλήθη, ἡ θέα τῆς εἰκόνος σου Πάτερ· καὶ ἡ μελέτη τῶν λόγων σου, κατευφραίνει τῶν πιστῶν τὴν διάνοιαν, οὕσπερ ἀναγινώσκοντες, καὶ φωτιζόμενοι βοῶμεν·
Χαῖρε, τὸ στόμα τοῦ Παρακλήτου·
χαῖρε, τὸ ἄνθος τοῦ Παραδείσου.
Χαῖρε, τὰ ἐπὶ γῆς ὑπερβὰς τῇ ἀσκήσει σου·
χαῖρε, τὰ ὑπὲρ νοῦν θεωρῶν τῇ κοιμήσει σου.
Χαῖρε, φῶς οἰκῶν ἀπρόσιτον, σὺν Ἀγγέλων τοῖς χοροῖς·
χαῖρε, ἄκουσμα εὐφρόσυνον, τοῖς πιστοῖς χριστιανοῖς.
Χαῖρε, ὁ διασώσας τὸν στρατὸν ἐν πολέμῳ·
χαῖρε, ὁ παραδώσας σεαυτὸν τῇ Παρθένῳ.
Χαῖρε, φαγὼν ἰχθὺν οὐρανόδοξον·

χαῖρε, λαβὼν ἰσχὺν θεοδώρητον.
Χαῖρε, τῶν νέων παιδαγωγία·
χαῖρε, γερόντων ἡ βακτηρία.
Χαίροις, Πάτερ Παΐσιε.

Σὺν Ἀγγέλων χορείαις, ὡς ἰσάγγελος πέλων, καὶ θρόνῳ παρεστὼς τῆς Τριάδος· ὡς παῤῥησίαν ἔχων πολλήν, πρὸς τὸν Χριστὸν καὶ οἰκείωσιν Ὅσιε, ὑπὲρ ἡμῶν δυσώπησον, τῶν ἐπὶ γῆς Θεῷ βοώντων·
Ἀλληλούϊα.

Τύχωνος τοῦ ὁσίου καὶ σεπτοῦ Γέροντός σου, λαβὼν τὴν πατρικὴν εὐλογίαν, καὶ ὁσίως κηδεύσας αὐτόν, τῆς ἡσυχίας τὸ μέλι ἐτρύγησας, ἐν τῷ Κελλίῳ τοῦ Σταυροῦ, καθοδηγῶν τοὺς ἐκβοῶντας·
Χαῖρε, στρουθίον τῆς ἡσυχίας·
χαῖρε, πυξίον τῆς εὐσεβείας.
Χαῖρε, ὁ ἐκφυγὼν τὴν ἀπάτην τοῦ δαίμονος·
χαῖρε, ὁ κατιδὼν τὸν σὸν Ἄγγελον ἔκθαμβος.
Χαῖρε, γραῖαν ἐκ κολάσεως, ἀφαρπάσας σῇ εὐχῇ·
χαῖρε, νέαν δι’ ἁγνότητα, ἀποκρύψας ἐν νυκτί.
Χαῖρε, ἀδὴν καὶ πνεύμων, τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ἀὴρ ἐκπνέων, τὴν Θεοῦ εὐωδίαν.
Χαῖρε, εἰρήνης ἔνσαρκος ἄγγελος·
χαῖρε, ἀγάπης θεία κυπάρισσος.
Χαῖρε, ὁ νόσοις πολλαῖς ὁμιλήσας·
χαῖρε, ὁ λόγοις πολλοὺς ὠφελήσας.
Χαίροις, Πάτερ Παΐσιε.

Ὕψωσόν σου τὴν χεῖρα, καὶ εὐλόγησον πάντας, τοὺς πόθῳ τὸν σὸν τάφον κυκλοῦντας· καὶ τὴν Μονήν σου τὴν ἱεράν, ταῖς σαῖς πρεσβείαις φύλαξ ἄτρωτον, ἐκ πάσης περιστάσεως, τοῦ ἀνυμνεῖν ἀκαταπαύστως·
Ἀλληλούϊα.

Φάρασα ἡ πατρίς σου, γηθοσύνως γεραίρει, τὴν μνήμην σου θεσπέσιε Πάτερ· ἣν εὐδόκησον τάχειν εὑρεῖν, τὴν ποθεινὴν ἐλευθερίαν ἅγιε, σὺν ἀλυτρώτοις ἅπασι, ἡμῶν πατρίσι καὶ βοᾶν σοι·
Χαῖρε, Φαράσων τὸ θεῖον θρέμμα·
χαῖρε, Ὁσίων ἅγιον βλέμμα.
Χαῖρε, ὁ ἐξασκήσας τὴν τέχνην τοῦ τέκτονος·
χαῖρε, ὁ ἐξανθίσας τὴν χάριν τοῦ Πνεύματος.
Χαῖρε, διαβιβαστὰ φιλότιμε, τοῦ πιστοῦ ἡμῶν στρατοῦ·
χαῖρε, ὑπερασπιστὰ ἀήττητε, τοῦ θεόφρονος λαοῦ.
Χαῖρε, τοῦ Θεολόγου τὴν Μονὴν καθιδρύσας·
χαῖρε, τὰς μοναστρίας διὰ λόγων στηρίξας.
Χαῖρε, γλώσσαις κεναῖς προσφθεγξάμενος·
χαῖρε, βάθη ψυχῶν ἐπιστάμενος.
Χαῖρε, κατ’ ὄναρ καὶ ὕπαρ προφθάνων·
χαῖρε, ἐξ ὕψους ἡμῖν ἐντυγχάνων.
Χαίροις, Πάτερ Παΐσιε.

Χάρις τῇ σῇ κοιμήσει, θεοδόξαστε Πάτερ, καὶ αἶνος τῷ Θεῷ καὶ Σωτῆρι, τῷ χορηγοῦντι ἡμῖν δαψιλῶς, διὰ

τῆς σῆς μεσιτείας τὸ ἔλεος, καὶ πᾶσι τὰ αἰτήματα, πρὸς σωτηρίαν ἐκπληροῦντι·
Ἀλληλούϊα.

Ψέλισμα ὡς νηπίου, τὸ παρὸν δέξαι Πάτερ, ἐφύμνιον καὶ δίδου μοι χάριν· καὶ τὴν πλουσίαν σου ἀρωγήν, ἐν μετανοίᾳ ὁδεῦσαι τὸν βίον μου, καὶ εὐχαρίστοις μέλεσι, διὰ παντός σοι ἀναμέλπειν·
Χαῖρε, ψυχῆς μου παραμυθία·
χαῖρε, ζωῆς μου χειραγωγία.
Χαῖρε, τῆς ταπεινώσεως ἔμψυχον ἄγαλμα·
χαῖρε, τῆς εὐσπλαγχνίας τὸ θεῖον ἀπαύγασμα.
Χαῖρε, ὅτι μέχρις αἵματος, ἀντετάξω τῆς σαρκός·
χαῖρε, ὅτι θείου Πνεύματος, ἐνεπλήσθης δαψιλῶς.
Χαῖρε, ἐκ τῆς ἑώας ὥσπερ ἥλιος λάμψας·
χαῖρε, τῆς ἐγκρατείας λαμπηδόσιν ἀστράψας.
Χαῖρε, μεθέξει θείᾳ θεούμενος·
χαῖρε, δαιμόνων τάξεις τροπούμενος.
Χαῖρε, ἐλπὶς σωτηρίας γλυκεῖα·
χαῖρε, ὀσμὴ Παραδείσου ἡδεῖα.
Χαίροις, Πάτερ Παΐσιε.

Ὢ πανεύφημε Πάτερ, ἀγαλλίαμα νέον, καὶ δόξα τῆς Χριστοῦ Ἐκκλησίας *(γ΄)*· τοὺς ἐν ὕμνοις τιμῶντας πιστῶς, τὴν ἱεράν σου μετάστασιν αἴτησαι, τοῦ λυτρωθῆναι ἅπαντας, καὶ μελῳδεῖν Θεῷ ἀπαύστως·
Ἀλληλούϊα.

